## Πότερον αἱ συμβληταὶ τῶν στοιχείων ποιότητες τοῦ αὐτοῦ εἰσιν εἴδους;

Ἐπειδὴ πῦρ μὲν καὶ ἀὴρ θερμότητος ἀλλήλοις κεκοινώνηκεν, ἀὴρ δὲ καὶ ὕδωρ ὑγρότητος, γῆ δὲ καὶ ὕδωρ ξηρότητος, ἀποροῦσι τινὲς πότερον ἡ αὐτὴ τῷ εἴδει θερμότης πρόσεστι πυρὶ καὶ ἀέρι, ἢ διαφέρουσιν, ὡσαύτως δὲ καὶ ἐπὶ τῶν λοιπῶν αἱ ποιότητες καθ᾽ ἃς συμβάλλονται. ἡμεῖς ὅμως τὰς τῶν νεωτέρων παραιτησάμενοι τερατολογίας ἄνευ ἀνάγκης οὐ δεῖν οἰόμεθα πολυπλασιάζειν τὰ ὄντα, ἀλλὰ τήν τε ἐν ἀέρι καὶ πυρὶ θερμότητα ταυτὴν τῷ εἴδει, ὁμοίως δὲ καὶ τὴν ἐν τῷ ὕδατι καὶ ἀέρι ὑγρότητα, καὶ ἐν τοῖς λοιποῖς στοιχείοις ἀποφαινόμεθα. Πρῶτον μὲν γὰρ εἰ τῇ φύσει διήνεγκεν ἦσαν ἂν ὀκτὼ αἱ πρῶται ποιότητες, ὃ μηδὲ παίζων εἴρηκέ τις τῶν Φιλοσόφων πολλοῦ γε δὴ καὶ σπουδάζων. Ἔτι δὲ οὐδὲν τῶν στοιχείων συμβλητὸν τὴν ἑτέρῳ ὡς ὁ Φιλόσοφος διδάσκει, αἱ γὰρ ἐν τούτοις ποιότητες ὀνόματι μόνον κοινωνοῦσι, τῇ δὲ φύσει ὡς λέγεται διαφέρουσιν. Ἔτι δὲ εἶεν ἂν τῷ αὐτῷ δύο τἀναντία ὅπερ ἀποδοκιμάζεται ἐν πολλοῖς ὁ Φιλόσοφος, τῇ γὰρ ψυχρότητι τοῦ ὕδατος ἀντίκειται ἥτε τοῦ πυρὸς θερμότης καὶ ἡ τοῦ ἀέρος, αὗται δὲ φύσει διαφέρουσιν ἀλλήλων ὡς οὗτοί γε πλάττουσι. Παρὰ ταῦτα ὥς γε πᾶσιν ὁμολογεῖται τοῖς Φιλοσόφοις ἐξ ὕδατος τὸ πῦρ ἀέρα γεννᾷ, τοῦτο δ᾽ ὅλως ἦν ἀδύνατον. ὁ μὲν γὰρ ἀὴρ ὑγρός ἐστι καὶ θερμός, τὸ δὲ ὕδωρ εἰς ἀέρα μεταβαλλόμενον ὑπὸ τοῦ πυρός, εἰ μὲν συναπόλλυσι τὴν οἰκείαν αὐτοῦ ὑγρότητα, ἑτέραν δὲ τῷ εἴδει παραλαμβάνει οἵα δὴ προσήκει τῇ τοῦ ἀέρος φύσει κατ᾽ αὐτοὺς ἔσται τι τῶν ἄνευ αἰτίου ποιητικοῦ γινομένων ἐν τοῖς οὖσι. τῆς γὰρ ὑγρότητος οὐ πῦρ αἴτιον, εἰ δὲ σώζει τὴν οἰκείαν ὑγρότητα παραλαμβάνει δὲ τὸ θερμόν, καὶ τὴν εἰδοποιὸν αὐτοῦ ψυχρότητα ἀποβαλὸν ἀὴρ γίγνεται, δῆλον γε ὅτι ἡ αὐτὴ τῷ εἴδει ὑγρότης πρόσεστιν ἀέρι καὶ ὕδατι, καί τοι γε παρά τε τοῦ ὑποκειμένου, καὶ τῶν συναναφυομένων ποιοτήτων πλείστην ὅσην λαμβάνουσα τὴν διαφοράν. Τελευταῖον ὥς γε ἡ πεῖρα δείκνυσι τὴν τῆς γῆς ψυχρότητα ἡ τοῦ ὕδατος ἐπιτείνει. εἰ γάρ τις τὴν χεῖρα αὐτοῦ ὑπὸ γῆς τιθέμενος καταψύξει, εἶτα ὕδατι ἐμβαλὼν τὴν ἀπὸ γῆς ψυχρότητα ἐπιτεινομένην αἰσθήσεται σαφέστατα, εἰ δὲ ἡ ἐν ὕδατι ψυχρότης τῆς ἐν γῇ διήνεγκεν, οὐκ ἔδει ἂν θατέραν ὑπὸ τῆς ἑτέρας ἐπιτείνεσθαι. τούτων δὲ οὕτως ἐχόντων ἐνίστανταί τινες. ἡ μὲν γὰρ ἐν πυρὶ θερμότης τὸ ὑγρὸν ὅλως ἀποκρούεται, ἡ δὲ ἐν ἀέρι φιλεῖ τὸ ὑγρόν, πῶς οὖν τῆς αὐτῆς οὔσης ποιότητος ἡ φύσις οὕτω διέστηκεν, ὥστε πεπονθέναι τἀναντίον; πρὸς ὃ ῥητέον ὅτι οὐχ



ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ... Ε.Γ. ΑΝΤΩΝ... ΙΩΑΝΝΙΝΑ 2006

ἡ θερμότης ἐν ὁτῳοῦν μέρει αὐτῆς ἀποβάλλεται τὸ ὑγρὸν, ἀλλ' ἐν ὑπεροχῇ καὶ ἀκρότητι ὑπάρχουσα. διὸ δὴ ἐν μὲν πυρὶ ἐν ὑπερβολῇ καὶ ἄκρως οὖσα ἡ θερμότης ἀπέβαλε πάντως τὸ ὑγρόν. ἐν ἀέρι δὲ καθ' ὕφεσιν ὑπάρχουσα τῷ αὐτῷ συνέζευκται. Δεύτερον ἀπορεῖται τίνος ἕνεκεν ἡ μὲν ἐν ἀέρι ὑγρότης, καὶ ἥτισοῦν τῷ θερμῷ συνυπάρχει, θάλπει καὶ τρέφει τὸ πῦρ, οἷον τὸ ἔλαιον, ἡ δ' ἐν ὕδατι σβέννυσί τε καὶ φθείρει; ἢ ὅτι τὸ ὕδωρ ψυχρὸν ὄν, ἢ τοιοῦτον μαχιμόν ἐστι τῇ τοῦ πυρὸς φύσει, ἢ ὅτι τὸ ὑγρὸν συνημμένον θερμότητι ῥᾷον μεταβάλλει εἰς πῦρ διὰ τὴν σύμβολον ἐν ἀμφοτέροις ποιότητα, ἐπεὶ δὲ τοῦ λύχνου ἐκ τοῦ συνεχομένου ἐλαίου συναποσπῶσα τοὺς ἀτμοὺς, ἡ φλὸξ κατὰ μικρὸν μεταβάλλει, καὶ ζωπυρεῖται. διὸ δὴ βιαιότερον ἐπιπνέοντος ἀνέμου σβέννυται τῆς τε φλογὸς σκεδαννυμένης, καὶ τῶν ἀτμῶν κωλυομένων. ἐκ δὲ τῶν εἰρημένων καὶ πρὸς τὰς λοιπὰς τῶν νεωτέρων ἀπορίας ῥᾷστ' αὖτις ἀπαντήσαιτο.

## Πότερον εἰλικρινῆ καὶ ἀμιγῆ σώζεται ἐν τῷ παντὶ τὰ στοιχεῖα, ἢ οὔ;

Εἰς μὲν τὸν οὐρανὸν τοὺς ὀφθαλμοὺς ἀτενίσασι λαμπρὸς ὅλως φαίνεται καὶ καθαρὸς, ἀμιγὲς αὐτοῦ τὸ κάλλος σώζων καὶ ἀκίβδηλον οἷα δὴ τῶν ἐκεῖ ἀγήρων καὶ ἀκηράτων ἕδρα ὑπάρχων. εἰς δὲ τὸ ὑπὸ Σελήνην θνητὸν τοῦτο καὶ φθαρτὸν σῶμα τῇ θέᾳ κατερχομένοις οὐδὲν τῶν στοιχείων ἀμόλυντον ἔοικε καὶ ἀθόλωτον, ἀλλ' ἀλλήλοις συγκεχυμένα τὸ καθαρὸν ἀποβέβληκε. διὸ δὴ πᾶσι κοινῶς ὁμολογεῖται οὐδὲν τῶν στοιχείων κατὰ τὸ ὅλον ἀμιγὲς ἐν τῷ παντὶ σώζεσθαι καὶ ἀκίβδηλον. τὸ πλέον γὰρ τῶν στοιχείων ἐπιμεμῖχθαι τοῖς ἐναντίοις ἡ αἴσθησις μαρτυρεῖ. Ἀπορεῖται δὲ μόνον πότερον εἰσί τινα μέρη τῶν στοιχείων καθαρὰ καὶ εἰλικρινῆ πάντως, ἢ οὔ; Πρῶτον μὲν γὰρ ἄτοπον φαίνεται πάντῃ πάντως συγκεχύσθαι τὰ στοιχεῖα, ἡ γὰρ τούτων ἐπιμιξία κατὰ τὸ ὅλον παρὰ φύσιν ἐστί, τὸ δὲ παρὰ φύσιν οὐκ ἀΐδιον ὡς λέγεται ἐν τῷ δευτέρῳ περὶ οὐρανοῦ, μορίῳ λζ΄. ὅτι δὲ εἶχον ἂν παρὰ φύσιν τὰ στοιχεῖα πάντως ἀκάθαρτα ὄντα δῆλον. καθ' ἑαυτὸ γὰρ ἀμιγῆ σώζειν φιλεῖ τὴν οἰκείαν φύσιν ἕκαστον τῶν ὄντων. Ἔτι δὲ ἄτοπον φαίνεται κιβδήλως ἔχειν τὰ πρῶτα τοῦ παντὸς μέρη, καὶ μεμολυσμένως. παρὰ ταῦτα ἕκαστον τῶν στοιχείων τῆς οἰκείας αὐτοῦ γλίχεται φύσεως, ὥστε ἄτοπον τὸ πάντως ἐπισφαλῆναι τῆς τοιαύτης ὀρέξεως, μηδὲ τὸν ἅπαντα χρόνον καθαρὸν καθιστάμενον καὶ ἀμόλυντον. Ἔτι δὲ τὰ στοιχεῖα καθ' ἑαυτά τε δύναται ὑπάρχειν, καὶ μεμιγμένα τοῖς ἄλλοις, τίνος οὖν ἕνεκεν οὐδέ-

ποτε

ΙΩΑΝΝΙΝΑ 2006

ποτε χωριστὰ ὑπάρξει; Ἔτι δὲ οὐκ ἣν ἐν τῷ παντὶ ἁπλῶς ἄνω κίνησις, ἢ κάτω, ἡ τοιαύτη γὰρ κίνησις ἁπλοῦ ἐστι σώματος. ὡς λέγεται τῷ Φιλοσόφῳ, ἐν δὲ τῷ παντὶ οὐδὲν ἐστιν ἁπλοῦν σῶμα, εἰ ἀλλήλοις ἐπιμέμικται πάντα. Ἔτι δὲ ὁ Φιλόσοφος δευτέρῳ περὶ γενέσεως ζώων, κεφ. ια. τὸ παρ' ἡμῖν πῦρ εἶδος φησὶν ἐν ἀλλοτρίᾳ ὕλῃ, τὸ δὲ τούτου γένος ὑπὸ Σελήνην, ὡς δ' ὑπὸ Σελήνην τὸ πῦρ καθαρόν ἐστι. πρὸς δὲ ταῦτα δευτέρῳ περὶ γενέσεως καὶ φθορᾶς, μορίῳ κβ. ἄκρα καὶ εἰλικρινέστατα πῦρ καὶ γῆν φησι, μέσα δὲ καὶ μεμιγμένα μᾶλλον ὕδωρ καὶ ἀέρα, ὥστε μεμιγμένα μὲν εἰσι κατά γε τὸν Φιλόσοφον τὰ μεταξὺ στοιχεῖα, ἀμιγῆ δὲ τὰ ἄκρα καὶ ἀκίβδηλα. Τελευταῖον τὸ τέλειον ὁμοίως γεννητικόν ἐστι κατά γε τὸν Φιλόσοφον ἐν ἑκάστῳ εἴδει, ἐπειδὴ οὖν πῦρ γεννᾷ πῦρ, καὶ γῆ γῆν, δῆλον ὅτι ἀμιγῆ ἐστι καὶ εἰλικρινῆ, καὶ τούτοις μὲν πεισθέντες τινὲς τοῖς λόγοις εἰσὶν ἅπασι μέρη τῶν στοιχείων εἰλικρινῆ ἐν τῷ παντὶ τηρεῖσθαι. ἀλλ' οὐδὲν ὅμως ἧττον ἀντιμάχεται τό, τε τοῦ Φιλοσόφου ἀξιωματικὸν, καὶ ἡ ὁσημέραι πεῖρα. Πρῶτον μὲν γὰρ δευτέρῳ περὶ γενέσεως καὶ φθορᾶς, μορίῳ κ'. αὐτοῖς ῥήμασιν, οὐκ ἔστι δέ φησι τὸ πῦρ καὶ ὁ ἀὴρ, καὶ ἕκαστον τῶν εἰρημένων ἁπλοῦν, ἀλλὰ μικτὸν, τὰ δὲ ἁπλᾶ τοιαῦτα μὲν εἰσιν, οὐ μέντοι ταὐτὰ, οἷον εἰ τῷ πυρὶ ὅμοιον πυροειδὲς οὐ πῦρ, καὶ τὸ τῷ ἀέρι ἀεροειδὲς, ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων, καὶ τὰ λοιπά. εἰ οὖν ἔνιοι τῶν νεοτέρων οὐ τὴν οἰκείαν ἐνταῦθα δόξαν τὸν Φιλόσοφον προβάλλεσθαι, ἀλλὰ τὴν τοῦ Ἐμπεδοκλέους ἀπομιμνήσκουσιν, ὅμως τοῖς γε εὐστόχως σκοποῦσι δῆλον γε, ὡς οἴκοθεν ὁ Φιλόσοφος ταῦτα διδάσκει. ἀποπώτερον δὲ καὶ Φιλόπονος παρεξηγεῖται τὴν τοῦ Φιλοσόφου λέξιν, μικτὸν γάρ φησι τουτέστιν ἐξ ὕλης καὶ εἴδους σύνθετον, καὶ πυροειδὲς, τουτέστιν ἔχον εἶδος πυρὸς, αὐτολεξὶ γὰρ ὁ Φιλόσοφος τὰ φαινόμενα στοιχεῖα ὅμοιά εἰσι τοῖς ἁπλοῖς, ἀλλ' οὐ ταὐτά. συμπεθόλωται γὰρ ἀλλήλοις, διὸ καὶ πυροειδὲς ἐστι τὸ φαινόμενον πῦρ, ἀλλ' οὐ πῦρ. εἰ δὲ πυροειδὲς ὡς ἔχον εἶδος πυρὸς πῦρ ὄντως ἔσται. ὁ δὲ Σιμπλίκιος μηδὲν εἶναι τῶν στοιχείων εἰλικρινὲς δείκνυσιν. ἕκαστον γὰρ τούτων ποιότησι μέμικται σαφῶς παρεπομέναις τῇ κράσει, γευστόν τε γάρ ἐστι καὶ κεχρωσμένον. Ἔτι δὲ καθ' ἓν ἕκαστον δείκνυται τὰ στοιχεῖα μὴ ἀμιγῆ σώζεσθαι, πρῶτον μὲν γὰρ τὸ Ὕδωρ οὐκ ἔστιν ἄκρως ψυχρὸν ἡττώμενον τῇ τοιαύτῃ ποιότητι ἀπὸ τοῦ πάγους. τὸ δὲ Πῦρ φωτεινόν ἐστι, τὸ δὲ φῶς τῇ μίξει παρέπεται. ἡ δὲ Γῆ ἧττον ἐστὶ βαρεῖα χυτοῦ, εἰ δὲ καθαρὰ ἦν πολλῷ βαρυτέραν ἔδει ὑπάρχειν. ὁ δὲ Ἀὴρ μάλιστα πάντων συμπεθόλωται τῶν ἀπὸ γῆς καὶ ὕδατος ἀτμῶν τε καὶ ἀναθυμιάσεων ἀνερχομένων ἑκάστοτε. Ἔτι δὲ τὰ στοιχεῖα τῶν μικτῶν ἕνεκα γέγονεν, ὥστε ἡ ἐν τούτοις ὑπάρχει, ἢ



ΕΡΓΑΣΤΗΡΙΟ ... ΙΩΑΝΝΙΝΑ 2006

ἐν ἑαυτοῖς ἐπιμέμικται ἵνα ῥᾷον ἔχῃ πρὸς μίξιν. πρόσθες ὅτι τῇ πρὸς ἄλληλα μίξει τὰ στοιχεῖα συνδέδεται, καὶ συμπληροῖ τὸ πᾶν ἀχωρίστως. Τούτων οὕτως ἑκατέρωθεν ἀντιφερομένων οἵ τε πάλαι καὶ οἱ ἐν τῷ περιπάτῳ φιλοσοφοῦντες εἰς διαφόρους ἐξετράπησαν δόξας. ὁ μὲν οὖν Πλάτων σαφῶς ἐν τῷ Φιλήβῳ, οὐδὲν εἰλικρινὲς ὑπὸ Σελήνην βούλεται τῶν στοιχείων, ἀλλὰ μεμιγμένον καὶ κιβδήλως ἔχον, μᾶλλον δὲ ἐν τῷ Τιμαίῳ τὰ ὑπ᾽ οὐρανὸν στοιχεῖα οὐδὲ πρώτας συλλαβὰς εἶναι φησίν, οὗτός γε μὲν ὢν τόν τε οὐρανὸν σύνθετον ἐκ τῶν στοιχείων ἐτίθετο, καὶ τὰ ὑπ᾽ οὐρανῶν στοιχεῖα ἀλλήλοις ἐπιμεμίχθαι διδάσκει, ὡς ἔμψυχα ὄντα, τὰ δὲ ζῶντα πάντα ἐκ πάντων τῶν στοιχείων συνίστασθαι ᾤετο. καίτοι ἐν τῷ οὐρανῷ τὰ στοιχεῖα εἰς τὸ τοῦ πυρὸς εἶδος μεταβεβλῆσθαι πως νομίζει. ἐν δὲ τοῖς ὑπὸ Σελήνην μεμῖχθαι μέν, σώζεσθαί γε ὅμως ἐν μάχῃ καὶ ἑτερότητι τὰς ποιότητας. τοιγάρτοι καὶ Σιμπλίκιος, τἄλλα κἀνταῦθα Πλατωνικὸς ὢν τὰ στοιχεῖα μεμῖχθαι φησὶν ἀλλήλοις. προσθεὶς ὅτι οὐκ αἰσθητὰ εἰσὶν ἀμιγῆ σωζόμενα. Τοῦτο δὲ οὐκ ὀρθῶς λέγεται, καθ᾽ ἑαυτὰ γὰρ αἰσθητά εἰσι καὶ ἁπτὰ ὡς λέγεται τῷ Φιλοσόφῳ. Τούτοις συνᾴδει καὶ Γαληνὸς ἔν τε τῷ περὶ φύσεως ἀνθρωπείας τοῦ Ἱπποκράτους ὑπομνήματι λή. καὶ ἐν τῷ περὶ στοιχείων κεφ. έ. καὶ ς΄. οἷς ἅπασιν ἀντίκειται ὁ Ἀφροδισιεὺς Ἀλέξανδρος. δευτέρῳ γὰρ περὶ ψυχῆς, μορίῳ λ΄. ἐν τῷ παντὶ σώζεσθαι ἀμιγῆ συγχωρεῖ τὰ στοιχεῖα, καὶ ἐν τῷ δευτέρῳ περὶ Φυσικῶν ἀποριῶν καὶ λύσεων κεφ. ιζ΄. τὸ ὑπὸ Σελήνην πῦρ τροφῆς οὐ δεῖσθαι φησίν, ὅτι καθαρόν ἐστι καὶ εἰλικρινὲς καὶ ἀνεπίμικτον. Τούτων οὖν οὕτως ἐκτεθέντων εἰδέναι δεῖ, ὅτι τὰ παρ᾽ ἡμῖν στοιχεῖα μήτοιγε ἀμιγῆ, ἀλλὰ πάντως εἰσὶ μικτά, ὡς οἱ ἀνωτέρω δεικνύουσι λόγοι. καὶ μάλιστα ὅτι τὰ παρακείμενα τοῖς ἐναντίοις τῶν ἐναντίων μετέχουσι ποιοτήτων, ὑπὸ δὲ τὴν Σελήνην καθαρὸν σώζεσθαι τὸ πῦρ, καὶ μάλιστα τούτου τὸ ἀνωτάτω μέρος ὁμολογοῦμεν πεισθέντες τοῖς Ἀλεξάνδρου λόγοις, ὥς γε καὶ τὸ περὶ τὸ κέντρον μέρος τῆς γῆς εἰλικρινὲς εἶναι δεῖ, καὶ τοῦτο γὰρ τῶν ἐναντίων ἀπῴκισται. ὅθεν καὶ ὁ Φιλόσοφος τὰ ἄκρα τῶν στοιχείων εἰλικρινέστατα φησι, τὰ δὲ μέσα μεμιγμένα μᾶλλον. ἐκ δὲ τούτων εὐχερῶς αὖτις τοὺς ἐναντίους τῶν λόγων ἐπιλύσειεν. ὅσοι μὲν γὰρ τὰ στοιχεῖα μεμῖχθαι δεικνύουσιν, ἀληθεῖς μέν, ἐφ᾽ ὅσον τὰ παρ᾽ ἡμῖν τοιαῦτα εἶναι βούλονται. ψευδεῖς δὲ οἱ πάνθ᾽ ὁμοίως κιβδήλως ἔχειν διϊσχυρίζονται, ὅσοι δὲ εἰλικρινῆ ταῦτα σώζεσθαι φασὶν ἀληθεῖς μὲν εἰ τούτων ἔνια κατὰ μέρος τοιαῦτα τίθενται. ψευδεῖς δὲ εἰ πάνθ᾽ ἁπλῶς ἀκιβδήλως καὶ καθαρῶς ἔχειν νομίζουσι, καὶ ταῦτα περὶ τούτων ἱκανῶς εἰρήσθωσαν.

## Περὶ τῶν στοιχειωδῶν εἰδῶν.

Περὶ μὲν οὖν τῆς τῶν στοιχείων φύσεως, εἰ καὶ πολλὰ μέχρι τούτου λέλεκται, τὸ κυριώτατον ὅμως ἀπὸ τοῦδε ζητητέον, δηλονότι ὁποῖα τινά εἰσι τὰ τῶν στοιχείων εἴδη. πρὸ δὲ τῆς σκέψεως ταύτης σημειωτέον ὅτι τριχῆ θεωρεῖται τὰ στοιχεῖα. Πρῶτον μὲν ἡ σώματα φύσιν ἔχοντα τοιαύτην ἀσχέτως τε καὶ καθ' ἑαυτά. Δεύτερον δὲ μετὰ σχέσεως καὶ ταύτῃ διχῶς, ἢ γὰρ ὡς συμπληρωτικὰ καὶ μέρη τοῦ παντὸς, ἢ ὡς ἀρχαὶ τῶν μικτῶν καὶ στοιχεῖα τούτων ἐξετάζεται. Τούτων γὰρ ἕνεκα τῶν ἐν τῷ περιπάτῳ τινὲς τὰς ἐν τοῖς στοιχείοις διαφορὰς διακρίναι δεῖν ᾠήθησαν, καὶ ἢ μὲν σώματα φυσικὰ ἀνωνύμοις τισὶν εἴδεσιν οὐσιοῦσθαι φασὶν, ἢ δὲ μέρη τοῦ παντὸς κουφότητι καὶ βαρύτητι συνίστασθαι. Τελευταῖον ἢ τῶν μικτῶν εἰσιν ἀρχαὶ ταῖς καλουμέναις πρώταις ποιότησιν εἰδοποιεῖσθαι, κἀντεῦθεν ἠπατῆσθαι νομίζουσιν ὅσοι τὴν τῶν στοιχείων ἄσχετον σκέψιν ἀφέντες ταῦτα συνιστῶσι τῇ πρὸς τὰ μικτὰ, ἢ πρὸς τὸ πᾶν ἀναφορᾷ. καὶ ταῦτα τῶν Φιλοσόφων ἐν πολλοῖς φασι διδασκόντων οὐδὲν φύσιν ἔχον τῇ πρὸς ἕτερον οὐσιοῦσθαι σχέσει, ἡ γὰρ φύσις τῶν αὐθυπάρκτων ἀπόλυτος. διό τοι τοῦτο συντονώτερον τὰ τοιαῦτα εἰκός ἐστι βασανίσαι, κατὰ δὲ πάροδον κἀκεῖνο νῦν ἐπιλυτέον, καθ' ὁποιονδήτινα λόγον ἀκριβέστερον ἐμφαίνει τὴν οἰκείαν ὑπεροχὴν τὰ στοιχεῖα, ἄρα καθ' ἑαυτὰ, ἤτοι ὡς μέρη τοῦ Κόσμου, ἢ καὶ ὡς ἀρχαὶ τῶν μικτῶν; τῆς μὲν οὖν σχέσεως χωρὶς τοῦ ὑποκειμένου λαμβανομένης, τὸ ὑποκείμενον καθ' ἑαυτό τε ὑπάρχον καὶ ἀπόλυτον ὂν ὑπερτερεῖ, τῶν πρός τι γὰρ ἀεὶ καθ' ὑπεροχὴν διαφέρει τὰ ἄσχετα τῶν ὄντων, τῆς δὲ σχέσεως μετὰ τοῦ ὑποκειμένου παρειλημμένης ὁπηνίκα δὴ ἡ σχέσις τελειότητα προστίθησιν ἀναμφιβόλως τῷ ὑποκειμένῳ καθ' ἑαυτὸ καὶ χωρὶς ὑπερέχει. ἐπειδὴ οὖν τὰ στοιχεῖα οὐχ ὡς ψιλαὶ σχέσεις ἀναφέρονται πρός τε τὰ μικτὰ καὶ τὸ πᾶν, ἀλλ' ἢ τοιαῦτα σώματα, πάντῃ που δῆλον ὅτι μετὰ τῆς τοιαύτης σχέσεως τελειότερα φαίνεται καὶ τιμιώτερα, καί τοι γε τῇ πρὸς τὸ πᾶν Ἀναφορᾷ πολλῷ μᾶλλον ἐπαίρεται. ὡς γὰρ τὸ πᾶν τιμιώτερον, οὕτω τοι καὶ ἡ πρὸς τὸ πᾶν σχέσις ἐγκριτοτέρα τῆς πρὸς τὰ μικτά. τὰ μὲν οὖν εἴδη τῶν στοιχείων ἄλλα ἄλλοι διαπλάττουσιν, οἱ μὲν γὰρ ἀμφὶ τὸν Ἀβερρόην εἴδη στοιχείων νομίζουσι βαρύτητα καὶ κουφότητα, ἄλλοι δὲ τὰς καλουμένας πρώτας ποιότητας εἰδοποιοὺς τῶν στοιχείων ὑπολαμβάνουσι τοῖς Ἀλεξάνδρου λόγοις ἑπόμενοι. οἱ δὲ συμβεβηκότα ταύτας οἰόμενοι ἀνώνυμά τινα εἴδη πρότερα τούτων φαντάζονται, ἅπερ οὐσίας τε εἶναι καὶ μὴ ταῖς αἰσθήσεσιν ὑποπίπτειν. διὸ δή τινας τὰς παρ' ἐκείνων διαφορὰς



Ε.Υ.Δ. ΙΩΑΝΝΙΝΑ 2006

οἷον εἴδη ὑποβολιμαῖα καὶ νόθα εἰσαγάγειν λέγουσιν. οἱ μὲν οὖν τὴν βαρύτητα καὶ κουφότητα εἴδη τῶν στοιχείων νομίζοντες. Πρῶτον μὲν ἐρείδονται τῇ τοῦ Ἀβερρόου διδασκαλίᾳ. τετάρτῳ γὰρ περὶ οὐρανοῦ ὑπομνήματι πρώτῳ εἴδη στοιχείων καλεῖ τὴν βαρύτητα καὶ κουφότητα. καὶ ταῦτα προστίθησιν ἀτόπως λέγεσθαι συμβεβηκότα κινήσεως ἀρχὰς ὄντα, τοῦτ' αὐτὸ τρίτῳ περὶ οὐρανοῦ ὑπομνήματι ιζ'. καὶ α. περὶ οὐρανοῦ ὑπομνήματι ιζ'. καὶ β. περὶ ψυχῆς ὑπομνήματι ρη'. διαῤῥήδην παρεγγυᾶται, ἔνθα τὸ βαρὺ καὶ κοῦφον ἐν τῇ κατηγορίᾳ τίθησι τῆς οὐσίας, δεῖ μὲν εἰδέναι ὅτι τῆς βαρύτητος καὶ τῆς κουφότητος διχῶς θεωρουμένης, ἢ ὡς ἀρχῆς τῆς ἄνω καὶ κάτω φορᾶς, ἢ ἀντὶ τῆς εἰς τὸ κάτω, ἢ ἄνω ῥοπῆς. κατὰ μὲν τὸν δεύτερον τοῦτον λόγον οὐδ' Ἀβερρόης τὴν βαρύτητα καὶ κουφότητα εἰδοποιοὺς εἴρηκε διαφοράς, ἀλλ' ἢ μόνον ἀρχαὶ κινήσεως εἰσίν.

Ἔτι δὲ καὶ λόγοις τοιούτοις εἰς σύστασιν τοῦ οἰκείου δόγματος χρῶνται. πρῶτον μὲν γὰρ ἑκάστου ἐστὶν ἡ ἀρχὴ τῆς ἐν ἐκείνῳ κινήσεως, ἐπειδὴ γὰρ ἡ φύσις ὡς λέγεται δευτέρῳ Φυσικῶν ἡ ἀρχὴ τῆς κινήσεως ἐν ᾧ ἐστι πρώτως καὶ καθ' ἑαυτό, δῆλον γε ὅτι καὶ ἡ ἀρχὴ τῆς κινήσεως ἐν ἑκάστῳ φύσις ἐκείνου ἐστίν. ἐπειδὴ οὖν τὸ βαρὺ καὶ κοῦφον ἀρχαὶ τῆς ἐν τοῖς στοιχείοις κινήσεως, εἰκότως εἴδη νομίζονται τούτων. ὅτι δὲ ἀρχαὶ τῆς κινήσεως τὸ βαρὺ καὶ κοῦφον δεδήλωκε σαφῶς ὁ Φιλόσοφος πρώτῳ γὰρ περὶ οὐρανοῦ, μορίῳ ιζ', τὸ βαρὺ καὶ κοῦφον ὁρίζων. βαρὺ μὲν ἔσω φησὶ τὸ φέρεσθαι πεφυκὸς ἐπὶ τὸ μέσον, κοῦφον δὲ τὸ ἀπὸ τοῦ μέσου, βαρύτατον δὲ τὸ πᾶσιν ὑφιστάμενον τοῖς κάτω φερομένοις, κουφότατον τὸ πᾶσιν ἐπιπολάζον τοῖς ἄνω φερομένοις. καὶ τετάρτῳ περὶ οὐρανοῦ, μορίῳ β'. βαρὺ γάρ φησι καὶ κοῦφον τῷ δύνασθαι κινεῖσθαι φυσικῶς πως λέγομεν, ταῖς δὲ ἐνεργείαις ὀνόματα αὐτῶν οὐ κεῖται, πλὴν εἴτις οἴοιτο τὴν ῥοπὴν εἶναι τοιοῦτον, μορίῳ δὲ κδ'. καθάπερ τὸ ὑγιαστὸν εἰς ὑγείαν κινεῖται, οὕτω τοι τὸ βαρὺ καὶ κοῦφον ἀρχαὶ τῆς ἄνω καὶ κάτω κινήσεως εἶναι διδάσκει. Δεύτερον δὲ ἐκ τοῦ δευτέρου περὶ ψυχῆς τεμαχίῳ ρη'. οὕτως ἐπιχειροῦσι. τὸ βαρὺ καὶ κοῦφον ἢ οὐσία ἐστὶν ἢ ποιόν, ποιὸν μὲν οὖν οὐκ ἔστιν, οὐ γὰρ αἰσθητόν, ἄρα οὐσία. Ἔτι δὲ εἰ τὸ βαρὺ καὶ κοῦφον τοῦ ποιοῦ διαφοραί εἰσιν, ἐπειδὴ πρῶται εἰσὶν αἱ τέτταρες ποιότητες εἶεν ἂν ταῦτα παρεπόμενα ταῖς πρώταις ποιότησι, τοῦτο δὲ οὐκ ἀληθές, οὐκ ὀρθῶς γὰρ ἂν ὁ Φιλόσοφος περὶ τούτων τοὺς λόγους πρότερον ἐποίει ἐν τοῖς περὶ οὐρανοῦ, εἶτα δὲ περὶ τῶν παθητικῶν ποιοτήτων ἐν τοῖς περὶ γενέσεως καὶ φθορᾶς. Τρίτον ἐπειδὴ τὰ στοιχεῖα ἢ μέρη τοῦ παντὸς πρότερα φαίνεται, ἥπερ εἰσὶν ἀρχαὶ τῶν μικτῶν ὀρθῶς οὐσιοῦσθαι λέγεται τῇ βαρύτητι καὶ κουφότητι. ταύταις γὰρ μέρη καθίσταται τοῦ παντός. πρόσθες ὅτι ὡς ἔχει πρὸς τὴν ἀλλοίωσιν ἡ κατὰ τόπον φο-



ΙΩΑΝΝΙΝΑ 2006

ρὰ, οὕτως ἔχει πρὸς τὰς παθητικὰς ποιότητας τὸ βαρὺ καὶ κοῦφον, ἀλλ' ἀμέλει ἡ κατὰ τόπον κίνησις, ὡς λέγεται ὀγδόῳ Φυσικῶν προτέρα τῆς ἀλλοιώσεώς ἐστιν, ἄρα καὶ τῶν ἀλλοιωτικῶν ποιοτήτων πρότερα, τὸ βαρὺ καὶ κοῦφον. ταῦτα δὲ καὶ μᾶλλον ἐμπεδοῦται τῇ τοῦ Φιλοσόφου διδασκαλίᾳ, ὅς γε τὴν τῶν πραγμάτων φύσιν ἀπὸ τῆς κατὰ τόπον θηρᾶται φορᾶς, ὡς ἐπειδὴ ἡ τῶν στοιχείων κίνησις ὡς εἰς ἀρχὰς καταντᾷ τὸ βαρὺ καὶ κοῦφον, ταῦτά γε μάλιστα οἰητέον συστατικὰ τῶν στοιχείων. καὶ ταῦτα μὲν οὗτοι συγκλώθουσι, διαῤῥήδην ἀντιμαχόμενοι τοῖς τοῦ Φιλοσόφου λόγοις, εἰ καὶ γὰρ οὗτοι τὸ βαρὺ καὶ κοῦφον διαιροῦντες, τὸ μὲν ὑπιπίπτον τῇ αἰσθήσει συμβεβηκὸς εἶναι λέγουσι, τὸ δὲ τῆς κινήσεως πρῶτον αἴτιον οὔτε αἰσθητὸν, οὔτε συμβεβηκὸς, ἀλλ' ὅμως ἁπλῶς ὁ Φιλόσοφος τὸ βαρὺ καὶ κοῦφον ἁπτὸν τίθεται ἔν τε τῷ περὶ ἀφῆς κεφαλαίῳ τοῦ δευτέρου περὶ ψυχῆς, καὶ ἐν τῷ δευτέρῳ περὶ γενέσεως καὶ φθορᾶς, τεμμαχίῳ ϛ. καὶ ἐν τῷ ὀγδόῳ περὶ Φυσικῆς Ἀκροάσεως τεμμαχίῳ ια. καὶ ιε. καὶ ἐν τῷ δευτέρῳ περὶ μερῶν ζώων κεφ. α. καὶ ἐν τῷ πέμπτῳ τῆς πρώτης Φιλοσοφίας κεφαλαίῳ περὶ ποιοῦ. Ἔτι δὲ ἐν πολλοῖς ὁ Φιλόσοφος τὰς τέτταρας ποιότητας ἀρχὰς τίθησιν τῶν στοιχείων, ὡς ἀλλαχοῦ λέλεκται, καὶ παραγωγοὺς βαρύτητος καὶ κουφότητος, ὃ καὶ αὐτὸς Ἀβεῤῥόης ὁμολογεῖ. πρόσθες ὅτι ἐπειδὴ τὸ βαρὺ καὶ κοῦφον τῶν στοιχείων ἐν τοῖς μικτοῖς μένει, οὐκ ὀρθῶς αὖ ὁ Φιλόσοφος ταῦτα παρεάσας, ἐκ τοῦ θερμοῦ καὶ ψυχροῦ τὰ μικτὰ συνίστησιν, ἔδει γὰρ αὖ μᾶλλον ἐκ τοῦ βαρέως καὶ κούφου τὰ μικτὰ συνιστᾷν. τὰ γὰρ στοιχεῖα, ἣ τοιαύτην ἔχοντα φύσιν, ἐν τοῖς μικτοῖς παραλαμβάνεται, ἔχει δὲ οὕτω τῷ βαρεῖ καὶ κούφῳ. πρὸς δὲ τοὺς ἀντικειμένους λόγους ἀπαντῶμεν, ὅτι τὸ βαρὺ καὶ κοῦφον ἀρχαὶ προσεχεῖς εἰσι κινήσεως, ἀλλ' οὐ πρῶται. τὸ γὰρ θερμὸν ἄνω φέρεται, τῷ κούφῳ, καὶ τὸ ψυχρὸν κάτω, τῷ βαρεῖ, καὶ ταῦτα πρώτως ὑπὸ τῆς οὐρανίου παράγεται κινήσεως, ἐπειδὴ οὖν τὰ αἰθέρια σώματα ποιητικὰ λέγεται τῶν στοιχείων, ἐκεῖνα διαῤῥήδην εἴδη τούτων ἐστὶν ἃ πρώτως ὑπὸ τοῦ οὐρανοῦ παράγεται, ταῦτα δὲ τὸ θερμὸν καὶ τὸ ψυχρὸν, τὸ ὑγρὸν καὶ τὸ ξηρόν ἐστιν. ἐλέγετο δεύτερον ὅτι τὸ βαρὺ καὶ κοῦφον οὐχ ὑποπίπτει τῇ αἰσθήσει, τοῦτο δὲ ψευδῶς εἴρηται. ἁπτὰ γὰρ ὡς λέγεται ἐν πολλοῖς τῷ Φιλοσόφῳ. Τρίτον ἀντεφέρετο, ὅτι ἡ κατὰ τόπον φορὰ προτέρα τῆς ἀλλοιώσεως, περὶ οὗ ἀλλαχοῦ διελέχθημεν, οὐ γὰρ προτέρα ἁπλῶς ἐν τῷ αὐτῷ ὑποκειμένῳ, ἀλλὰ πρός γε τὴν τοῦ παντὸς σύστασιν, διὸ καὶ πρότερον περὶ ταύτης ὁ Φιλόσοφος τοὺς λόγους πεποίηκε

Δευτέρα τοίνυν δόξα, περὶ τὰ τῶν στοιχείων εἴδη παρὰ τῶν νεωτέρων προβάλλεται, ἥτις τὸ βαρὺ καὶ κοῦφον, καὶ θερμὸν καὶ ψυχρὸν, καὶ ὑγρὸν καὶ ξηρὸν, καὶ μανὸν καὶ πυκνὸν, συμβεβηκότα καλοῦσα, πρότερόν τι τούτων φαν-

τάζεται ἐν λόγῳ οὐσίας, συνιστῶν τὰ στοιχεῖα, ὅπερ ἀνώνυμον ὂν περιγράφεσθαι διδάσκει. ὁτὲ μὲν τῷ βαρεῖ καὶ κούφῳ, καθ᾽ ὃν λόγον ὡς μέρη τοῦ παντὸς λαμβάνεται, ὁτὲ δὲ τῷ ψυχρῷ καὶ θερμῷ, καὶ ὑγρῷ καὶ ξηρῷ, καθ᾽ ὃν λόγον ὡς ἀρχαὶ τῶν μικτῶν λέγεται, ἀλλ᾽ ὅσοις αὖ ἀτόποις, ἡ τοιαύτη δόξα περιπλέκεται, εἰρήσεται κατωτέρω. νῦν δὲ τὴν τῶν ἐλλιπῶν δόξαν ἐκθώμεθα, οἵτινες γνώμῃ καὶ ψήφῳ κοινῇ, τὰς ποιότητας εἴδη νομίζουσι τῶν στοιχείων, καίτοι διαφέρουσιν ἀλλήλων. Οἱ μὲν γὰρ τούτων, συστατικὴν διαφορὰν τῶν στοιχείων ὑπολαμβάνουσι τὴν προσήκουσαν ἑκάστῳ πρώτως ποιότητα, οἷον πυρὸς μὲν τὸ θερμόν, ἀέρος δὲ τὸ ὑγρόν, ὕδατος δὲ τὸ ψυχρόν, γῆς δὲ τὸ ξηρόν. Οἱ δὲ τὴν ἐν ἑκάστῳ τῶν ποιοτήτων συζυγίαν, εἶδος ἀποφαίνονται, τινὲς δὲ τὴν συνδρομὴν τῶν ἐν τοῖς στοιχείοις ποιοτήτων εἶδος λέγουσιν, αὐτὰς δὲ τὰς ποιότητας εἰδοποιοὺς ὀνομάζουσι διαφοράς. ὁ μὲν οὖν Γαληνὸς ἐν τῷ περὶ στοιχείων βιβλίῳ, τήν τε ὕλην καὶ τὰς τέτταρας ποιότητας ἀρχὰς εἰρηκὼς τῶν φύσιν ἐχόντων, δῆλός ἐστι τὰς πρώτας ποιότητας, εἴδη νενομικὼς τῶν στοιχείων, ὡσαύτως δὲ καὶ Ἀλέξανδρος τὰς πρώτας ποιότητας, εἴδη νομίζει, ὥσγε φανερόν ἐστιν ἐν τῷ περὶ ἁφῆς κεφαλαίῳ, τῆς περὶ ψυχῆς πραγματείας. καὶ ἐν τῷ περὶ Φυσικῶν ἀποριῶν καὶ λύσεων. συνᾴδει δὲ τούτοις καὶ Συμπλίκιος πέμπτῳ Φυσικῶν ὑπομνήματι ι α. καὶ ζ΄. Φυσικῶν ὑπομνήματι κγ΄. καὶ α. περὶ οὐρανοῦ λϛ΄. καὶ ἐν τῇ τῆς οὐσίας κατηγορίᾳ, οἷς ἕπεται καὶ Φιλόπονος, ἔν τε τοῖς περὶ γενέσεως καὶ φθορᾶς λόγοις, καὶ ἐν τῇ κατὰ Πρόκλου διαλέξει κεφ. ε. οὐδ᾽ Ἀμμώνιος διήνεγκε τούτων, ἐν γὰρ τῷ περὶ ποσοῦ κεφαλαίῳ, τὸ θερμόν φησιν οὐσιῶδες ἐστὶν ἐν τῷ πυρί, καὶ τὸ αὐτὸ τοῦτο διδάσκει ἐν τῇ κατηγορίᾳ τῆς οὐσίας, ἄνδρες οὖν τοιοῦτοι ἐς τὸ δόγμα τοῦτο κεκίνηνται λόγοις ἰσχυροῖς, οἷς καὶ ἡμεῖς πειθόμενοι τὰς πρώτας ποιότητας, εἴδη τῶν στοιχείων ὑπολαμβανόμεθα, καίτοι μὴ ὡς ἔνιοι νομίζουσιν ἑκάστην τούτων συμβεβηκὸς οἰόμεθα, ὅμως δὲ λαμβανομένας εἶδος ὑπάρχειν, ἀλλὰ τὴν πρώτην ἐν τοῖς στοιχείοις ποιότητα τὴν ἄκραν ἐλέγομεν αὐτοτέρω εἶδος οὐσιῶδες καὶ συστατικὸν τιθέμεθα. τὰς δὲ λοιπὰς αἵτινες οὖν ἐν τοῖς στοιχείοις μετὰ τὴν πρώτην εἰσί, συμβεβηκότα φαμέν, λόγοις δὲ τοιούτοις ἐρηρείσμεθα μάλιστα, πρῶτον μὲν γὰρ τὸ εἶδος ἑκάστου ὑπὸ τῆς οἰκείας αὐτοῦ ἐνεργείας δηλοῦται, ἡ δὲ ἐν τοῖς στοιχείοις ἐνέργεια πρόεισι τῆς ἐν αὐτῷ πρώτης ποιότητος, αὕτη ἄρα νομιζέσθω τὸ εἶδος αὐτοῦ. ὅτι δὲ πᾶσα ἐνέργεια ὡς ἐξ ἀρχῆς τῆς πρώτης ποιότητος ἀναπήγαζεται φανερόν. τό, τε γὰρ ποιεῖν ἢ πάσχειν ὑπ᾽ ἀλλήλων, καὶ ὡδί πως κινεῖσθαι, καὶ τὸν τοιοῦτον τόπον ἐπέχειν ὑπὸ τῆς ἐν ἑκάστῳ ποιότητος, εἴληπται προφανῶς. διὸ δὴ καὶ ὁ Φιλόσοφος, τὰς πρώτας ποιότητας ἀρχὰς ἐν πολ-

λοῖς

ΙΩΑΝΝΙΝΑ 2006

λοῖς εἴρηκεν, οὔτε τῷ δευτέρῳ περὶ μερῶν ζώων, κεφ. β'. καὶ ἐν τῷ δευτέρῳ περὶ γενέσεως καὶ φθορᾶς, μορίῳ ϛ'. ἔνθα τρεῖς ἀπαριθμῶν τῶν ὄντων ἀρχάς. πρῶτον μὲν φησι τὸ δυνάμει σῶμα, δεύτερον δὲ τὰς ἐναντιώσεις, καὶ τρίτον πῦρ τε καὶ γῆν, καὶ ὕδωρ καὶ ἀέρα. ὡς ἅτε δὴ τῶν στοιχείων ἐκ τῆς ὕλης καὶ τῶν πρώτων ποιοτήτων, συνεστηκότων οὐσιωδῶς, καὶ τῶν πρώτων ποιοτήτων ἀμέσως ἐπαγομένων εἰς τὴν πρώτην ὕλην, διά τοι τοῦτο, μορίῳ ιϛ'. τοῦ αὐτοῦ τὰς ἐν τοῖς στοιχείοις πρώτας ποιότητας, στοιχεῖα καλεῖ, πῶς δὲ στοιχεῖα, εἰ μὴ οὐσίαι, τὰς αὐτὰς δὲ, μορίῳ η'. διαφορὰς προσαγορεύει, μορίῳ δὲ λϛ'. ἀπείρων οὐσῶν φησι τῶν πρώτων ποιοτήτων, οὐκ ἔνι ὁρίσαι τὰ στοιχεῖα, ὡς ἅτε δὴ τῶν πρώτων ποιοτήτων ἐν λόγῳ οὐσίας, ἀλλ' οὐ συμβεβηκότων παραλαμβανομένων. τὰ αὐτὰ δὲ καὶ τῷ ιβ'. τῆς πρώτης Φιλοσοφίας, μορίῳ κβ'. διέξεισιν. Ἔτι δὲ δευτέρῳ περὶ ψυχῆς, μορίῳ ριη'. ἁπτὰ μὲν οὖν εἰσί φησιν, αἱ διαφοραὶ τοῦ σώματος ᾗ σῶμα. λέγω δὲ διαφορὰς, αἳ τὰ στοιχεῖα διορίζουσι. θερμὸν, ψυχρὸν, ὑγρὸν, ξηρὸν, περὶ ὧν εἰρήκαμεν πρότερον ἐν τοῖς περὶ στοιχείων. Δεύτερον, εἶδος ἑκάστου τὸ διορίζον αὐτὸ καὶ διακρῖνον, τὸ δὲ θερμὸν, ψυχρὸν, ὑγρὸν, καὶ ξηρὸν, διακρίνει ἀπ' ἀλλήλων τὰ στοιχεῖα, ταῦτα ἄρα εἴδη στοιχείων ἐστί. Τρίτον τὰ στοιχεῖα ᾗ τοιαύτην ἔχει φύσιν ἀλλήλοις ἀντίκειται, ἡ δὲ τούτοις ἐναντίωσις ἀπὸ τῶν πρώτων ποιοτήτων ἐστὶν, ἄρα φύσις αὐτῶν αἱ πρῶται ποιότητες. τελευταῖον οὐ δεῖ πολυπλασιάζειν ἄνευ ἀνάγκης τὰ ὄντα, ἀλλ' ἀπόχρη εἰς λύσιν τῶν ἐπισυμβαινόντων τοῖς στοιχείοις, ἡ ἐν ἑκάστῳ πρώτη ποιότης. οὐδεῖ ἄρα ἕτερόν τι εἶδος ἐν τοῖς στοιχείοις ἀναπλάττειν. Τούτων ὅμως οὕτως ἐχόντων πολλοί τινες ἀντιπίπτουσι λόγοι. Πρῶτον μὲν γὰρ ὅτι αἱ ποιότητες αὗται εἰς τὸ τοῦ ποιοῦ γένος ὑπάγονται, καὶ ἐν τῷ τρίτῳ εἴδει τῆς κατηγορίας ταύτης τάττονται, φανερὸν, ἔκτε τῶν εἰρημένων τῷ Φιλοσόφῳ καὶ αὐτοῦ δὴ τοῦ λόγου. ἀρχαὶ γάρ εἰσι τῶν δευτέρων ποιοτήτων, καὶ ἐν τῷ αὐτῷ γένει τάττονται. Δεύτερον δὲ ὅτι ταῖς πρώταις ποιότησιν ἐναντίωσις ὑπάρχει, ὥσγε δῆλον ἐστι. τῇ δὲ οὐσίᾳ οὐκ ἔστιν ἐναντίον, ὡς εἴρηται ἐν τῷ περὶ οὐσίας Ἀριστοτέλει. Τρίτον δὲ ὅτι αἱ πρῶται ποιότητες αἰσθηταί εἰσι καὶ ἁπταὶ, τῆς δὲ οὐσίας οὐκ ἔστιν ἡ αἴσθησις ἀντιληπτικὴ, δευτέρῳ γὰρ περὶ ψυχῆς, μορίῳ ξέ. ἡ οὐσία κατὰ συμβεβηκὸς, αἰσθητὴ λέγεται. Τέταρτον ὅτι θερμότης, ψυχρότης, ὑγρότης καὶ ξηρότης σαφῶς ἐπιδέχονται τὸ μᾶλλον καὶ τὸ ἧττον, καὶ κατὰ μέρος προσγίνονται τῷ ὑποκειμένῳ, ἡ δὲ οὐσία ἐν τῷ περὶ οὐσίας κεφαλαίῳ ἀνεπίδεκτος λέγεται ἀνέσεως καὶ ἐπιτάσεως. Πέμπτον ἀδύνατον ἐστὶ τὸ αὐτὸ, τὸ μὲν εἶναι συμβεβηκὸς, τὸ δὲ οὐσίαν, ἀλλὰ μὴν αἱ πρῶται ποιότητες ἐν τοῖς μικτοῖς διαρρήδην συμβεβηκότα εἰσὶν, ἄρα ἀδύ-

νατον ταύταις οὐσιοῦσθαι τὰ στοιχεῖα. ἡ μείζων πρόδηλος ἐκ τοῦ πρώτου
τῶν Φυσικῶν, μορίῳ κζʹ. ἔνθα ὁ Φιλόσοφος, τὸ μὲν συμβεβηκὸς μὴ
ὄν φησι, τὸ δὲ ὂν ὅπερ ὄν, ὥστε εἰ τὸ ὂν συμβεβηκὸς, τὸ αὐτὸ ἔσται ὂν
καὶ μὴ ὄν. Ἡ ἐλάττων δείκνυται, καὶ γὰρ αὗται αἱ ποιότητες γίνονται καὶ
ἀπογίγνονται ἄνευ τῆς τοῦ ὑποκειμένου φθορᾶς. οὐκ ὀρθῶς ἄρα αἱ πρῶ-
ται ποιότητες εἴδη λέγονται οὐσιώδη. Ἕκτον δὲ ὅτι ἐν τῷ δευτέρῳ πε-
ρὶ μερῶν ζώων τὰ μικτὰ λέγεται οὐκ ἐκ τῶν στοιχείων, ἀλλ' ἐκ τῶν δυ-
νάμεων αὐτῶν μᾶλλον συνεστηκέναι. τουτέστιν ἐκ τοῦ θερμοῦ, ψυχροῦ, ὑ-
γροῦ, καὶ ξηροῦ, εἰ δὲ ταῦτα εἴδη τῶν στοιχείων οὐσιώδη, ἀληθῶς ἐκ τῶν
στοιχείων συνίσταται τὰ μικτὰ, ἐπειδήπερ ἐκ τῶν οὐσιωδῶν ἐν τούτοις
διαφορῶν συγκέκραται, τίνος οὖν ἕνεκεν οὐκ ἐκ τῶν στοιχείων συγκεῖ-
σθαι λέγεται παρὰ τοῦ Φιλοσόφου τὰ μικτά; Ἕβδομον δὲ ἐν τῷ περὶ
αἰσθήσεως καὶ αἰσθητοῦ, τὸ πῦρ οὐχ ᾗ πῦρ, ἀλλ' ᾗ θερμὸν, ἐνεργεῖν λέ-
γεται παρὰ τοῦ Φιλοσόφου. εἰ δὲ τὸ θερμὸν οὐσία πυρὸς, ἀληθῶς τὸ
πῦρ ᾗ θερμὸν ἐνεργοῦν, ᾗ πῦρ ἐνεργοῦν λεγέσθω. Ὄγδοον δὲ αὐτοῖς
ῥήμασιν ὁ Φιλόσοφος ἐν τῷ τῆς πρώτης Φιλοσοφίας, μορίῳ ιζʹ. ἃ μὲν
οὖν μάλιστα οὐσίαν σημαίνειν φαίνεται, φησὶν, ὕδωρ ἀὴρ, πῦρ, γῆ,
ἐξ ὧν τὰ σύνθετα σώματα σύγκεινται. Τούτων δὲ θερμότης καὶ ψυχρό-
της, καὶ τὰ τοιαῦτα πάθη εἰσὶν, ἀλλ' οὐκ οὐσίαι. τὰ αὐτὰ δὲ καὶ ὀγδόῳ
τῆς πρώτης Φιλοσοφίας διδάσκει, καὶ πέμπτῳ τῆς αὐτῆς, ἐν δὲ τῷ
ἕκτῳ τεμμαχίῳ τοῦ δευτέρου περὶ γενέσεως καὶ φθορᾶς, τὰ στοιχεῖα γεννη-
τὰ τίθησι, διὰ τὰς πρώτας ποιότητας, καὶ κατ' Ἐμπεδοκλέους ἐπιχειρεῖ,
ὅτι εἰ οὐκ εἰς ἄλληλα μεταβάλλει τὰ στοιχεῖα, οὐδ' ἀλλοίωσις ὅλως ἦν,
ἡ δὲ ἀλλοίωσις εἰς τὸ ποιὸν ἀνάγεται, συμβεβηκὸς ὂν δεύτερον τῶν ἀ-
πολύτων. ἄρα καὶ αἱ ποιότητες συμβεβηκότα εἰσὶν, ἀλλ' οὐκ οὐσίαι. ὃ
καὶ μᾶλλον φανερὸν γίνεται ἐκ τοῦ πρώτου περὶ γενέσεως καὶ φθορᾶς, μο-
,, ρίῳ κδʹ. ἔνθα ἐάν τι, φησὶν, ὑπομένῃ πάθος τὸ αὐτὸ ἐναντιώσεως
,, ἐν τῷ γενομένῳ, καὶ ἐν τῷ φθαρέντι, ὅταν ἐξ ἀέρος ὕδωρ, ἢ
,, ἄμφω διαφανῆ, ἢ ψυχρὰ, οὐδεῖ τοῦτο θάτερον πάθος εἶναι εἰς ὃ με-
,, ταβάλλει, εἰδεμὴ ἔσται ἀλλοίωσις, δι' ὧν τὴν κατὰ τὸ ψυχρὸν, ἢ δια-
φανὲς μεταβολὴν, ἀλλοίωσιν ὀνομάζει. τὴν δὲ κατὰ τὸ ὅλον γένεσιν κατ'
οὐσίαν. ὥσγε καὶ ἐν τῷ ἑβδόμῳ τῶν Φυσικῶν τὴν κατὰ τὸ θερμὸν,
ψυχρὸν, ὑγρὸν καὶ ξηρὸν μεταβολὴν, ἀλλοίωσιν λέγει. Ἔνατον δὲ δʹ.
,, μετεωρολογικῶν κεφαλαίῳ ἐσχάτῳ, σαρκὸς μέν φησι τὸ ἔργον ἧττον
,, δῆλον, ἢ τὸ τῆς γλώττης, ὁμοίως δὲ καὶ πῦρ, ἀλλ' ἔτι ἧττον ἴσως
,, δῆλον Φυσικῶς, ἢ τὸ τῆς σαρκὸς ἔργον. εἰ δὲ τὸ θερμὸν εἶδος τοῦ
πυρὸς οὐκ ἀληθὲς, ὅτι τὸ τοῦ πυρὸς ἔργον ἧττον δῆλον τῆς σαρκὸς, τὸ
γὰρ θερμαίνειν δηλότατόν ἐστι. Δέκατον εἰ τὸ θερμὸν ψυχρὸν, ὑγρὸν καὶ

ξηρὸν

ξηρὸν εἴδη τῶν στοιχείων εἰσὶν, ἐπειδὴ ἐκ τούτων τὰ μικτὰ σύγκεινται, εἴδη τῶν μικτῶν αἱ κράσεις ἔσονται, τοῦτο δὲ ἄτοπον, συμβεβηκὸς γὰρ ἐστιν ἡ κρᾶσις, ἀλλ᾽ οὐκ οὐσία. Τελευταῖον εἰ αἱ πρῶται ποιότητες εἴδη τῶν στοιχείων εἰσὶν, ἐπειδὴ συμβεβηκότα αὗται εἰσὶν, ὡς εἴρηται ἐν πολλοῖς τοῦ Φιλοσόφου, καὶ τοῖς ἀνωτέρω δέδεικται λόγοις, ἕπεται μόνην μὲν τὴν ὕλην οὐσίαν ὑπάρχειν, ὥσγε τοῖς πάλαι δοκεῖ, τὰ δὲ περὶ τὴν ὕλην εἴδη τὰ πρῶτα αὐτάτε συμβεβηκότα εἶναι, καὶ ὅσα αὖ ἐκ τούτων γίνονται, διὸ καὶ Γαληνὸς ἀτόπως μὲν, ἀλλὰ παρεμφερῶς τοῖς οἰκείοις λόγοις καὶ αὐτὴν τὴν ψυχὴν, κρᾶσιν ὑπείληφε. ταῦτα μὲν καὶ ἕτερα πλείω τούτων οἱ νεώτεροι, κατὰ τῆς προκειμένης ἀντιφέρουσι δόξης, πρὸς ἃ πειρατέον ἀπαντῆσαι, οἷς κέχρηνται λόγοις οἱ τοῦ Ἀριστοτέλους ἑρμηνευταί. πρὸς μὲν οὖν τὸ πρῶτον, ὁ μὲν Ἀμμώνιος ἐν τῇ κατηγορίᾳ τῆς οὐσίας διαιρέσει χρῆται λέγων, ὅτι αἱ ποιότητες καθ᾽ ὃ μὲν προσγίνονται τῇ ὕλῃ, συμβεβηκότα εἰσὶ, καὶ ἐν τῷ γίγνεσθαι θεωρούμεναι. ἐν δὲ τῷ γεγενῆσθαι, καὶ καθ᾽ ὃ συμπληροῦσι τὰ τῶν στοιχείων εἴδη, οὐσιώδεις εἰσὶ διαφοραὶ, προστιθεὶς ὅτι αἱ τῶν στοιχείων διαφοραὶ, μέσαι πως εἰσὶ μεταξὺ οὐσίας καὶ συμβεβηκότος, τοῖς μὲν γὰρ συμβεβηκόσι κοινωνοῦσι τοῦτε δεκτικὰς εἶναι τοῦ μᾶλλον καὶ ἧττον καὶ ἐναντίωσιν ἔχειν. τῶν δὲ οὐσιῶν τοῦ ἀμέσως εἰδοποιεῖν τὴν πρώτην ὕλην καὶ ἐν τῷ τί ἐστι κατηγορεῖσθαι. ὁ δὲ Σιμπλίκιος πρώτῳ περὶ οὐρανοῦ, μορίῳ λϛ'. ἀποφάσει χρῆται, οὐκ ἀληθῶς γάρ φησιν οὐσιώδεις εἶναι διαφορὰς λέγεται τὰς ποιότητας, πρῶτον μὲν γὰρ αἱ οὐσιώδεις διαφοραὶ οὐκ εἰσὶν οὐσίαι, ἐκ τῆς ἐν τῷ περὶ οὐσίας κεφαλαίῳ διδασκαλίας. ἔπειτα δὲ καὶ ἐκ τοῦ πρώτου τῶν μεταφυσικῶν, αἱ οὐσιώδεις διαφοραὶ ποιότητες λέγονται, καὶ ἐν τῷ ὁποῖον ἐστὶ κατηγορεῖσθαι, ὥστε οὐκ ὀρθῶς συνάγεται μὴ οὐσιώδεις εἶναι διαφορὰς, τὰς πρώτας ποιότητας εἰς τὸ τοῦ ποιοῦ γένος ὑπαγομένας. Ἔτι δὲ ἐλέγετο ὅτι τῶν δευτέρων ποιοτήτων ἀρχαὶ ὑπάρχουσαι αἱ πρῶται ποιότητες, ἐν τῷ αὐτῷ γένει πίπτονται. Τοῦτο δὲ ἀληθὲς μὲν τῆς ποιότητος κοινότερον εἰλημμένης, ἰδιαίτερον δὲ λαμβανομένης ἀντὶ συμβεβηκότος, ψευδές. αἱ μὲν γὰρ δεύτεραι ποιότητες ἀεὶ συμβεβηκότα εἰσὶν, αἱ δὲ πρῶται οὐ πάντως. πρὸς δὲ τὸ δεύτερον ὁ μὲν Σιμπλίκιος δευτέρῳ Φυσικῶν ια'. μορίῳ καὶ πρώτῳ περὶ οὐρανοῦ λϛ'. μὴ εἶναι φησὶ τῇ οὐσίᾳ ἐναντίον, μήτε κατὰ τὴν ὕλην μήτε κατὰ τὸ εἶδος, μήτε κατὰ τὸ σύνθετον, ἀλλὰ μόνον κατὰ τὰς οὐσιώδεις διαφοράς. Ὁ δὲ Φιλόπονος, μορίῳ κβ'. καὶ μθ'. τοῦ δευτέρου περὶ γενέσεως καὶ φθορᾶς, κατὰ μὲν τὴν ὕλην μὴ εἶναι τῇ οὐσίᾳ διδάσκει, κατὰ δὲ τὸ εἶδος, καὶ πάνυγε, διαφέρουσι δὲ ἀλλήλων Σιμπλίκιος καὶ Φιλόπονος, ὅτι ὁ μὲν Σιμπλίκιος τὸ εἶδος ἐν τῷ ὅλῳ τεθεώρηκεν, ὁ δὲ Φιλόπονος ὡς θάτερον τοῦ συνθέτου

με-

ΙΩΑΝΝΙΝΑ 2006

μέρος. πρὸς δὲ τὸ τρίτον ὁ μὲν Σιμπλίκιος τρίτῳ περὶ ψυχῆς, καὶ ἕκτῳ Φυσικῶν, καὶ ἀλλαχοῦ τὸ εἶδος σύνθετον ποιῶν ἐξ οὐσιωδῶν διαφορῶν, αὐτὸ μὲν καθ' ἑαυτὸ ἀδιαίρετον τίθησι, τὰς δὲ οὐσιώδεις διαφορὰς καθ' ἑκάστην ἐπιδέχεσθαί φησι, τὸ μᾶλλον καὶ τὸ ἧττον. βέλτιον δὲ ἐστὶ φάναι τὸ οὐσιῶδες εἶδος, μὴ δεκτικὸν εἶναι τοῦ μᾶλλον καὶ ἧττον ἐν τῷ γεννᾶσθαι. ἐν δὲ τῷ γίνεσθαι οὐδὲν ἄτοπον ἐστὶ κατὰ μέρος προσγίνεσθαι, καίτοι καθ' ὃν χρόνον γίνεται οὐκ εἶδος ἐστιν οὐσιῶδες, ἀλλὰ συμβεβηκὸς μᾶλλον, καὶ ἐν ὑποκειμένῳ ἐνεργείᾳ ὑπάρχει. πρὸς δὲ τὸ τέταρτον διαφόρως ἀπαντῶσιν, Οἱ μὲν γὰρ τὰς οὐσίας αἰσθητὰς εἶναι κατὰ συμβεβηκὸς, καὶ γὰρ οὐ καθ' ἑαυτὰς, ἀλλὰ διὰ τῶν οἰκείων ἐνεργειῶν ὑποπίπτουσι ταῖς αἰσθήσεσιν. Οἱ δὲ τὴν μὲν σύνθετον οὐσίαν οὐ καθ' ἑαυτὴν αἰσθητὴν λέγουσιν, ἀλλὰ διὰ τῶν οἰκείων αὐτῆς διαφορῶν. πρὸς δὲ τὸ πέμπτον φαμὲν, ὅτι τὸ αὐτὸ ἢ τοιοῦτον, ἀδύνατόν ἐστι τῷ μὲν, εἶναι συμβεβηκὸς, τῷ δὲ, οὐσίαν, ἄλλως δὲ καὶ ἄλλως οὐκ ἄτοπον, καὶ μάλιστα οἷς εἴδεσιν ἡ κατὰ τὸ μᾶλλον καὶ ἧττον παραλλαγὴ πρόσεστιν. οἷον αἱ πρῶται ποιότητες, ἄκρως μὲν οὖσαι ἐν λόγῳ συστατικῆς ὑπάρχουσι διαφορᾶς, ἐν ὑφέσει δὲ οὖσαι συμβεβηκότα εἰσὶ, καίτοι οὐδ' οὕτως τῶν πάντως εἰσὶ χωριστῶν, κἀν τοῖς μικτοῖς γὰρ αἱ πρῶται ποιότητες ἀχωρίστως ὑπάρχουσι, καὶ συμπληρωτικαὶ εἰσὶ τῆς τούτων οὐσίας. πρὸς δὲ τὸ ἕκτον, ἀπαντητέον, ὅτι οὐκ ἐξαρνός ἐστιν ὁ Φιλόσοφος τῆς τῶν μικτῶν ἐκ τῶν στοιχείων συνθέσεως, ἀλλὰ μᾶλλον φησὶν, ἐκ τῶν δυνάμεων αὐτῶν συγκεῖσθαι, τὰ γὰρ στοιχεῖα ἢ θερμὸν, ψυχρὸν, ξηρὸν, καὶ ὑγρὸν, καὶ τὰς τοιαύτας ἔχει δυνάμεις εἰς μίξιν παραλαμβάνεται. πρόσθες ὅτι οὐκ ἐκ τῶν στοιχείων λέγεται συγκεῖσθαι τὰ μικτά. οὐ γὰρ μένουσιν ἐν αὐτοῖς ὁλοτελῆ ταῦτα, ἀλλ' αἱ τούτων ποιότητες ἀλλοιωθέντων. πρὸς δὲ τὸ ἕβδομον ῥᾴδιος ἡ ἀπάντησις, παρὰ γὰρ τῶν ὀρθῶς φιλοσοφούντων, τοὐναντίον ὅλως συνάγεται, εἰ γὰρ τὸ πῦρ ᾗ θερμὸν ἐνεργεῖ, ἐπειδὴ τῶν ἑκάστου ἐνεργειῶν ἀρχὴ καὶ αἰτία τὸ εἶδος αὐτοῦ φανερὸν, ὅτι καὶ πυρὸς εἶδος τὸ θερμόν. ὁ δ' Ἀριστοτέλης τὸ πῦρ οὐχ ᾗ πῦρ ἐνεργεῖν φησι, τὸ γὰρ πῦρ σύνθετον ἐκ δύω μερῶν, ἐνεργεῖ δὲ οὐ κατὰ ἀμφότερα, ἀλλὰ κατὰ τὸ εἶδος. ἀλλ' ὅμως οἱ νεώτεροι οὐκ εἰς τῶν λεγομένων τὴν ἔννοιαν ἐμβαθύναντες, ἀλλὰ τῇ τῶν λέξεων ἐξ ἐπιπολῆς σημασίᾳ ὑποκλαθέντες, τῆς ἀληθείας ἀποπλανῶνται. καὶ μυρίοις ὅσοις ἀτόποις ἐγκαλινδοῦνται. ὥσγε καὶ ἐκ τῆς ἀνωτέρω τοῦ Φιλοσόφου ῥήσεως ἐπιχειροῦσι, μὴ εἶναι καθ' ἑαυτὰς ἐνεργητικὰς τὰς οὐσίας, ἀλλὰ διὰ τῶν ἐπισυμβαινουσῶν αὐταῖς δυνάμεων. τὸ γὰρ πῦρ φασιν, οὐχ ᾗ πῦρ ἐνεργεῖν ὑπὸ τοῦ Φιλοσόφου λέγεται. ἀλλ' ᾗ θερμὸν, τοῦτο δὲ δύναμίς ἐστι συμβεβηκυῖα, ἀλλ' οὐκ οὐσιώδης. λεληθότως οὖν τὰς οὐσίας κατὰ συμβεβη-



ΙΩΑΝΝΙΝΑ 2006

κὸς ἐνεργητικὰς τιθέασιν. ὥστε μάταιον ὅλως εἶναι τὸ κατ' οὐσίαν εἶδος, ὀκνηρόν τε ὂν καὶ ἀσυνέργητον. Ἔτι δὲ ἀρχὰς οὐσιῶν τὰ συμβεβηκότα λέγουσιν. ἀλλὰ τούτους ληρεῖν ἀφέντες, τοὺς τῶν Ἀριστοτελικῶν συγγραμμάτων φιλαναγνώστας, εἰς τὰς ἐννοίας τῶν εἰρημένων εἰσδύειν παραινούμεθα. καὶ ἐκ τῶν ἀλλαχοῦ εἰρημένων τῶν νῦν αὐτῶν ἐρευνᾶν καὶ θηρᾶσθαι. πρὸς δὲ τὸ ὄγδοον ὀρθῶς ὁ Φιλόσοφος μὴ οὐσίας φησί, τὰς πρώτας ποιότητας, οὐ γὰρ κατ' εὐθεῖαν ἐν τῇ κατηγορίᾳ τάττεται τῆς οὐσίας, ἀλλὰ πλαγίως πρὸς αὐτὴν ὑπάγεται. διὸ δὴ καὶ ἐν τῇ κατηγορίᾳ τῆς οὐσίας ὁ Φιλόσοφος, ποιότητας ὀνομάζει καὶ οὐκ οὐσίας. προσετίθετο ὅτι ἐν πολλοῖς ὁ Φιλόσοφος τὴν κατὰ τὸ θερμὸν, ψυχρὸν, ὑγρὸν, καὶ ξηρὸν, κίνησιν, ἀλλοίωσιν προσαγορεύει. ἡ δ' ἀλλοίωσις μεταβολὴ κατὰ συμβεβηκὸς, ἀλλ' οὐ κατ' οὐσίαν. πρὸς ὃ ῥητέον, ὅτι καὶ ἡ εἰς οὐσιώδεις διαφορὰς κίνησις, γένεσις μὲν λέγεται ἀπὸ τοῦ πρὸς ὃν ὅρου. προηγουμένη δὲ, λαμβανομένη ἀλλοίωσις εἰκότως ὀνομάζεται. ἐπειδὴ γὰρ τὸ πάσχον ἀεὶ ἐνεργείᾳ ἐστὶν, ἡ ἐν αὐτῷ κίνησις τοῦ ποιοῦντος, καίτοι γένεσίς ἐστι, περαιωθεῖσα γὰρ μεταβολή ἐστι κατὰ τὸ ὅλον, ἥπερ ὅμως ἐν ὑποκειμένῳ ἐστὶν ἐνεργείᾳ, ἀλλοίωσις ἐστὶν, οὐ γὰρ ἤδη μετέβαλε τὸ γιγνόμενον, ἀλλὰ σώζει τὸ οἰκεῖον εἶδος, διὸ δὴ καὶ ὁ Φιλόσοφος κίνησιν μὴ εἶναι φησὶν εἰς οὐσίαν. οὐδὲ κίνησιν εἶναι τὴν γένεσιν, ἡ γὰρ κίνησις ἐν ὑποκειμένῳ ἐστὶν ἐνεργείᾳ. Ἡ δὲ γένεσις καθ' ἑαυτὴν θεωρουμένη τοῦ δυνάμει ὄντος, εἰς ἐντελέχειαν μεταβολή ἐστιν, καὶ μεταξὺ ὅρων ἀντιφατικῶν θεωρεῖται. πρὸς δὲ τὸ ἔνατον ἀπαντητέον, ὅτι οὐχ ἁπλῶς ὁ Φιλόσοφος ἧττον φησὶ, δῆλον τὸ τοῦ πυρὸς ἔργον, ἀλλ' ἐν τοῖς μικτοῖς, ἐν οἷς τοῦ κράμματος ἡ ἐνέργεια σαφεστέρα τῶν ἐν τούτῳ μερῶν. οἷον ἐν τοῖς ζώοις ἡ τῆς χειρὸς ἐνέργεια, μᾶλλον δήλη τῶν ἐν ταύτῃ ὀστέων, νεύρων, σαρκὸς καὶ τῶν τοιούτων. τούτων δ' αὖ ἡ ἐνέργεια γνωριμωτέρα τῶν ἐν τούτοις στοιχείων. πρὸς δὲ τὸ δέκατον καὶ αὐτὸ δὴ τὸ τελευταῖον ἀπαντῶμεν, τὴν ἐν ἑκάστῳ τῶν μικτῶν κρᾶσιν οὐσιώδη εἶναι καὶ συστατικὴν, ἐξ αὐτῆς γὰρ ἀπανθεῖ τὸ συνεκτικὸν ἐν τοῖς μικτοῖς τῶν στοιχείων εἶδος, ὃ καὶ τῶν αὐτοῦ ἐνεργειῶν ἀρχή ἐστιν, ὅθεν οὐδὲ μόνη ἡ ὕλη οὐσία, τὰ δὲ περὶ τὴν ὕλην ἅπαντα συμβεβηκότα εἰσὶν, ἀλλ' οὐσία μὲν καὶ ἡ ὕλη, μᾶλλον δὲ οὐσία καὶ φύσις τὸ εἶδος τῶν ἑκάστου κινήσεων, ἀρχὴ πρώτως ὑπάρχον, ἀμφοῖν δὲ μᾶλλον τὸ συναμφότερον, ὅπερ ἁπλῶς καὶ κυρίως οὐσία λέγεται ἐν πολλοῖς τῷ Φιλοσόφῳ, καὶ ταῦτα μὲν ἅλις περὶ τῶν στοιχειωδῶν εἰδῶν, περὶ ὧν διὰ μακροτέρων ἀλλαχοῦ εἴρηται ὅπως τὸ μᾶλλον ἐπιδέχεται καὶ ἧττον.